# ΤΟΥ ΑΥΤΟΥ

# ΚΥΡΙΟΥ ΘΕΟΦΙΛΟΥ ΚΟΡΥΔΑΛΛΕΩΣ ΤΟΥ ΑΘΗΝΑΙΟΥ

## Ἔκθεσις περὶ Ῥητορικῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## ΠΡΟΟΙΜΙΟΝ.

ΑΕὶ μὲν ἔγωγε τὸ περὶ τὴν παιδείαν ὑμῶν εὐδαιμόνισα πρόθυμον· καὶ τὸ εὐγενὲς οὐκ ἔχω μὴ ἄγασθαι τῆς ὑμετέρας φύσεως. οἳ χρήματι πολυασχόλῳ τῇ ἐμπορίᾳ ἐνειλημμένοι, καὶ τῶν Εὐρίπου παλιῤῥοιῶν οὐκ ἀσθενεστέρῳ ῥεύματι τῷ τῶν πραγμάτων ὄχλῳ μεταφερόμενοι διηνεκῶς, καὶ ἀντιῤῥιπτούμενοι, οὐκ ἀνύετε ὅμως καὶ λογίων μεταποιούμενοι, τὴν τε τῶν Ῥητόρων καλλιφωνίαν, τῶν μηδεμιᾶς ἁπτομένων φροντίδος τὰ δευτερεῖα φέρειν αἰσχύνεσθε. καὶ οὔτε τὸ χαλεπὸν τῆς εὑρέσεως διὰ τὸ δυσληπτὸν ἀπαμβλύνει τῆς προθυμίας τὸ εὔτονον, οὔτε τὸ συνεχὲς τῶν πόνων ῥαθυμοτέρους περὶ τὴν τούτου θήραν ἐργάζεται. Ἀλλ' οἱ μὲν τῶν πλεόντων πολλοί, κἂν σμικρὸς ὑπολάβῃ κλύδων,

Ε.Υ. Δ. Π.
ΙΩΑΝΝΙΝΑ 2006

δων; ἐκπλαγέντες τῇ ἀληθείᾳ, προΐενται μὲν τὴν σώζουσαν τέχνην, παραδιδῶσι δὲ ἑαυτοὺς τῷ κύματι καὶ προσαναλίσκονται τῆς Νεώς.

Ὑμεῖς δὲ ὥσπερ φιλοσοφίας ἐν μεθορίῳ καὶ ἐμπορίας τεταγμένοι, τῆς μὲν τῷ ἐπιῤῥέοντι σάλῳ ὡς ἐγχωρεῖ ἀπαντῶντες, καὶ τῆς ἑτέρας ἀποχρώντως ἀντέχεσθαι. ἡ μὲν γὰρ ὑμῖν κἂν ἐπείσακτος, ἀλλὰ ταῖς χρείαις συντελοῦσα τοῦ βίου. ἡ δὲ πατρῷον κτῆμα ἀνέκαθεν. ἧς εἰ καὶ τὸ ἄνθος ὁ δαίμων αὐτοῖς κλάδοις ἀπέκειρεν, ἐμμένει μέντοι τὰ σπέρματα κρείττω δαιμονίας ἐπηρείας τῇ φύσει συμμεταδιδόμενα. σφαδάζει τε διηνεκῶς ἐπὶ τὴν ἔκφυσιν, καὶ ὀργᾷ εἴπου ἀνατεθηλότα πάλιν ἀποκυήσειεν, ὅσα καὶ φυτὸν εὐγενές. ἀπορίᾳ δὲ τοῦ μαιευσόντος μένει ἀτελεσφόρητα: καὶ τοῦτό ἐστι τὸ νύττον ἀεὶ καὶ οὐκ ἐῶν ὑμῶν ἠρεμεῖν τὴν ψυχήν. ὃ κἀμοί τόγε νῦν ἔχον φοιτᾶν καταναγκάζει ὡς δῆθεν ἐμπείρῳ τὰ περὶ τὴν μαίευσιν. Ἐγὼ δὲ τῆς φύσεως ὑμᾶς ἐπαινῶν, αἰσχύνομαι μὴ καὶ χαρίσασθαι. εἰ δὲ τοὐγχείρημα πόνων ἐστὶν οὐκ ἐκτὸς, ἀλλ' ὑμῶν γ' ἕνεκα τὸν ἐνόντα τρόπον πειρατέον ἔδοξα τὰ σπαργῶντα ἤδη τῶν σπερμάτων εἰς φῶς ἀγαγεῖν. Ὑμεῖς δὲ κἂν ταῖς ὠδῖσιν ἐπείγεσθε, μὴ πάνυ σπεύσητε τὴν ἀπότευξιν. οὐχ ὁ τυχὼν γὰρ ἐξ ἀμβλώσεως κίνδυνος τοῖς πρὸ ὥρας γλιχομένοις προϊέναι τὰ ἔκγονα. Ὁ μὲν σκοπὸς ἡμῖν ἐπὶ τοῦ παρόντος, οὐ Ῥητορικῆς θεωρία, οὐδέτινα περὶ αὐτῆς ὁλόκληρον ἔκθεσιν παραδοῦναι. ἀλλὰ περὶ μερῶν τοῦ πολιτικοῦ λόγου, καὶ τῆς ἐκείνου διαθέσεώς τε καὶ χρήσεως διαλαβεῖν. σαφη-

νείας

νείας δὲ ἕνεκα, καὶ τοῦ μὴ δοκεῖν (ὃ λέγεται) μῦθον ὑφαίνειν ἀκέφαλον, ὀλίγ' ἄττα καὶ περὶ ὁλοσχερῶς τῆς πραγματείας· ὡς ἐν παρόδῳ προανακεκρουκότες, καὶ εἰς αὐτὴν μεταβησόμεθα τὴν τοῦ προκειμένου διαθήρασιν. Τὴν Ῥητορικὴν τοιγαροῦν τῶν μὲν ἐμπειρίᾳ χρηματισάντων, τῶν δὲ τέχνην, ἐνίων δὲ αὐτῇ οὐδὲ τὰ τῆς ἐπιστήμης πρεσβεῖα νεῖμαι ἀποκνησάντων, ἡμεῖς καὶ τὸ σύντομον ἐπὶ τοῦ παρόντος, καὶ τὸ εὐπαρακολούθητον διώκοντες, τὰ μὲν τῶν ἄλλων ἐάσαντες, ἃ περὶ αὐτῆς τῷ Ἀριστοτέλει ἔδοξεν (ὃν καὶ τοῦ λόγου ποδηγὸν ἐνστησόμεθα) διὰ βραχέων ὡς οἷόν τε ἀναπτύξομεν. Ἀμέλει τοι ὁ Ἀριστοτέλης ἐν τῷ πρώτῳ τῶν πρὸς Θεοδέκτην, Δύναμίν φησι τὴν Ῥητορικὴν εἶναι περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν, δύναμιν δὲ ἐνταῦθα οὐ φυσικήν τινα δεξιότητα ὑποληπτέον, ὅ δή τινες περὶ Ῥητορικῆς ἐφαντάσθησαν· ἀλλ' ἣν συνίστησι γυμνασίας συνέχεια, ταῖς περὶ τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ ἐνεργείαις, ἥτις καὶ τέχνη ἐστίν. ὃ περὶ αὐτῆς ὁ Ἀριστοτέλης πολλαχοῦ ἀποφαίνεται. ὃ γὰρ πράττειν πεφύκασιν ἄνθρωποι, χαλεπῶς μέντοι καὶ σπανίως, ῥᾳδίως δὲ καὶ ὡς τὰ πολλὰ ἐθισθέντες, τοῦτο, καὶ τὴν αἰτίαν προσλάβοιεν, τέχνη γίνεται. τοιοῦτον δὲ ἡ Ῥητορική, καθ' ἣν καὶ πάντες φύσει μέχρι τινὸς ἐνεργοῦσι, καίπερ εἰκῇ καὶ ἐπισφαλῶς. ἐν ἕξει δὲ γενόμεναι διὰ συνηθείας καὶ ἔτι, ἀλλὰ ῥᾷστα καὶ ἐμμελῶς, ἐνδέχεται δὲ καὶ αἰτίαν θεωρεῖν. οἷον, τίνα, καὶ τίνι τρόπῳ χηματισθέντα τοὺς τοιούσδε πείθουσιν ἀκροατάς, ἄλλως μὲν τοὺς πρὸς

πρὸς ἡδονὴν ἢ κέρδος ἀφορῶντας· ἑτέρως δὲ τοὺς φιλοδοξοῦντας. καὶ ὧδὶ μὲν ὄχλον, οὕτω δ᾽ αὖ σοφοὺς καὶ τῷ δικαίῳ προσέχοντας· ὡσαύτως δὲ καὶ τοιόνδε μὲν συντεθὲν προοίμιον, τοιῷδε τῶν λόγων γένει ἐφαρμόττει. ἄλλως δὲ ἑτέρῳ καὶ πρὸς ἑτέρους. καὶ τῶν λοιπῶν ὁμοίως. τέχνη ἄρα ἡ Ῥητορική. Ἡ δὲ τέχνη ἕξις ἐστὶ πρακτικὴ μετὰ λόγου. ἕξις δὲ οὖσα, καὶ ποιότης ἀναγκαίως· ἡ γὰρ ἕξις ποιότης ἐστὶν ἐπείσακτος ταῖς τῆς ψυχῆς δυνάμεσι, καθ᾽ ἣν τοιῶσδε τὸ ζῶον ἔσχηκεν, ἢ πρὸς ἑαυτὸ, ἢ πρὸς ἕτερον. οὐκοῦν ἡ Ῥητορικὴ καὶ ποιότης ἐστὶν ἢ ἕξις, καὶ ἕξις ἢ τέχνη, καὶ τέχνη περὶ λόγους ἢ λογική. Ἀλλ᾽ ὁ λόγος οὗτος ἀληθὴς μὲν, οὔπω δὲ Ῥητορικῇ ἀποκεκριμένος, ἐπεὶ καὶ γραμματικῇ ἐφαρμόττειν, καὶ διαλεκτικῇ ἐνδέχεται. ὅτου χάριν προσείληπται τὸ, περὶ ἕκαστον τοῦ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν· καθ᾽ ὃ ἀντιδιαστέλλεται μὲν τῆς γραμματικῆς, ὡς μόνην τὴν ὀρθότητα καὶ σημασίαν σπουδαζούσης τοῦ λόγου· διακρίνεται δὲ καὶ τῆς διαλεκτικῆς, ἧς ἔργον κανόνα καὶ ὄργανον συγκροτῆσαι, δι᾽ οὗ ἔχοιμεν ἐν μὲν τοῖς κατὰ θεωρίαν τοῦ ψεύδους τὸ ἀληθὲς, ἐν δὲ τοῖς πρακτέοις τῶν φαύλων τἀγαθὰ διελεῖν. μόνη δὲ ἡ Ῥητορικὴ πᾶσαν περὶ τὸ πιθανὸν καταβάλλεται τὴν σπουδήν· καὶ τοῦτο περὶ τοῦ δοθέντος ἁπλῶς δύναται θεωρεῖν. Οὐ γὰρ ἀφώρισται περί τι γένος ἡ τῆς Ῥητορικῆς ὕλη, οἷον δὴ ταῖς λοιπαῖς τέχναις. τέκτονι φέρε εἰπεῖν ξύλα· χαλκεῖ δὲ μέταλλα· καὶ καθεξῆς ὡσαύτως. ἀλλ᾽ ἐφ᾽ ὅτιοῦν ἡ Ῥητορικὴ ἐπεκτείνεται τῶν συμπιπτόντων

τῶν

τῶν ἐν πολιτείαις ζητημάτων, πλὴν τῶν ἀσυςάτων. Ἔργον δ' αὐτῆς οὐ τὸ πεῖσαι πάντως, οὐδὲ γὰρ τεκτονικῆς τὸ τὴν κλίνην εἰς ἔργον προαγαγεῖν, ἀλλ' εἰδέναι ὡς ἂν προαχθείη εἰ μή τι τῶν ἐκτὸς διακώλυμα παρεμπέσοι. οὕτω σοὶ καὶ Ῥητορικῆς τὸ ἐπίςασθαι περὶ ἑκάςου τῶν προβληθέντων, οὐ διδακτικῶς, ἀλλὰ πιςοτικῶς εἰπεῖν. ὅθεν καὶ τῶν ἐναντίων ἐςὶ διὰ τῶν κοινῶν καὶ ἐνδόξων κατασκευαςική. Τὸ δὲ τοῦ Ῥήτορος ἔργον, τέτραχα διανενέμηται, κατὰ τὰ τέσσαρα τῆς Ῥητορικῆς μέρη. ἐν οἷς πρώτη μὲν καὶ οὐδαμῶς εὔληπτος, ἡ τῶν Ῥητορικῶν προβλημάτων καὶ ςάσεων θεωρία ἐςί. μεθ' ἣν ἡ τῶν πίςεων εὕρεσις, οὐχ ἧττον τὸ πολυσχεδὲς ἢ χρήσιμον ἔλαχε. καὶ παρὰ ταύτας ἥτε τῶν εὑρεθέντων διάθεσις, καὶ τῶν λέξεων ἐκλογὴ καὶ ὑπόκρισις τῶν αὐτῶν. Τῶν δὲ προβαλλομένων εἴτουν ζητουμένων γένη εἰσὶ δύο. τὰ μὲν γὰρ συντείνει πρὸς αἵρεσιν καὶ φυγήν. οἷον, εἰ πολεμητέον Φιλίππῳ. τὰ δὲ πρὸς γνῶσιν μόνον. οἷον, πότερον ὁ κόσμος σφαιροειδής, ἢ οὔ. Τούτων δὲ τὰ μὲν εἰσὶ καθόλου, ὅσα καὶ τῶν περιςατικῶν ἐξῃρημένα. οἷον, εἰ ὅλως πολεμητέον. τὰ δὲ ἐπὶ μέρους. ὡς τὸ, εἰ προσήκει Ἀθηναίοις ἄρασθαι τὸν κατὰ Φιλίππου πόλεμον ὑπὲρ Ὀλυνθίων, ἐπὶ ἄρχοντος Καλλιμάχου. Ἔςι δ' ἐν ἑκατέρῳ τῷ γένει κοινὰ τὰ καθόλου κατασκευαςικὰ καὶ ἀνασκευαςικά. ὁ γὰρ δείξας παντὶ γαμητέον εἶναι, καὶ τῷ Σωκράτῃ πάντως, καὶ Πλάτωνι ἔσεται ἀποδεδειχώς. ὁμοίως δὲ καὶ ὁ ἀνελὼν τὴν πρὸς ἑτεροδόξους φιλίαν, συνανεῖλεν (οἷον εἰπεῖν) καὶ

 τὴν

Ε. ΔΑΓΚΛΗΣ ΙΩΑΝΝΙΝΑ 2006

τὴν μεταξὺ Πεισιστράτου καὶ Σόλωνος.. ἡ μέντοι Ῥητορικὴ τῶν κατὰ μέρος ἐστὶ θεωρητική τε καὶ πιθανουργική. ἔστι γὰρ πολιτικὸν ζήτημα (ὡς Ἑρμογένης ὡρίσατο) ἀμφισβήτησις λογικὴ ἐπὶ μέρους, ἐκ τῶν παρ' ἑκάστης κειμένων νόμων ἢ ἐθῶν, περὶ τοῦ νομισθέντος δικαίου, ἢ τοῦ καλοῦ, ἢ τοῦ συμφέροντος, ἢ καὶ πάντων ἅμα, ἢ ἐνίων, τὴν δὲ τῶν καθόλου καὶ ἀληθῶν ἔρευναν, Φιλοσόφοις ἡ Ῥητορικὴ παρίησι, τὸ εἶναι τῶν ὄντων οὐ τὸ δοκοῦν πολυπραγμονοῦσιν. εἰ δέ που καὶ Ῥήτορες ἅπτονται τῶν καθόλου, τοῦτο ἐφ' ὅσον αἱ τῶν κατὰ μέρος ἐργασίαι ταῖς τῶν καθόλου ἐμπεριέχονται δρῶσιν. οὐ μὴν ἡγείσθω τις κατὰ μέρος ἡμᾶς λέγειν ἐνταῦθα τὰ ἑνὶ μόνῳ δοκοῦντα. ὧν ἀορίστων ὄντων, ἀδύνατον καὶ νόμους θέσθαι, καὶ τεχνικῷ τινι κανόνι τὴν περίληψιν ποιῆσαι. ἀλλὰ τὰ τοιῶσδε, ἢ τοιῶσδε ἔχουσιν· οἷον, Ἀθηναίοις ἢ Λακεδαιμονίοις. Ἑκάτερον δὲ τῶν ἐκτεθέντων γενῶν, εἰς τρία τὴν διανομὴν εἴληχεν, εἰς ἃ καὶ πᾶσαι αἱ τῶν ἐντορευόντων στάσεις ἀνάγονται. τρεῖς γὰρ τὰς ἀνωτάτω ζητήσεις οἱ περὶ Ἑρμογένην τίθενται. εἰ ἐστί. τί ἐστιν. ὁποῖόν τι ἐστίν· ὧν τὸ μὲν πρῶτον διὰ τοῦ στοχασμοῦ θηρώμεθα. Ἔστι γὰρ στοχασμὸς, ἀδήλου πράγματος ἔλεγχος οὐσιώδης ἀπό τινος φανεροῦ σημείου· ἢ ἀπὸ τῆς περὶ τοῦ προσώπου ὑποψίας. Εἰ δὲ φανερὸν μὲν ἦ τῇ οὐσίᾳ, δεόμενον δὲ προσθήκης ἐς ἀναπλήρωσιν, ποιεῖ τὴν ζήτησιν περὶ τὸ ἐλλεῖπον, καὶ ἡ στάσις ὁρικὴ προσηγόρευται, ὡς περὶ τὸν ὅρον τοῦ προβληθέντος συνισταμένη. ἂν μέντοι δῆλον, καὶ ἐντελὲς ᾖ τὸ κρινόμενον, ἡ ζήτησις περὶ τὴν ποιό-

τητα

ΙΩΑΝΝΙΝΑ 2006

τητα τοῦ πράγματος ἵσταται. ἣ καὶ γένος οὖσα, ἡ περὶ πρᾶγμα θεωρεῖται καὶ ποιεῖ τὰς λογικὰς στάσεις, ἡ περὶ ῥητὸν καὶ ποιεῖται τὰς νομικάς. Καὶ τῶν περὶ πρᾶγμα, ὅσαι μὲν περὶ μέλλοντος ζητοῦσι, πραγματικαὶ ἤκουσαν. ὅσαι δ' αὖ περὶ παρῳχημένου, γενικῶς μὲν δικαιολογία. ἥτις προσεχῶς μὲν τέμνεται εἰς ἀντίληψιν, ἥτις ἐστὶ μονομερής· καὶ ἀντίθεσιν, ἥτις περιέχει τὰς τέτταρας ἀντιθετικάς. Ἀνθίστασιν. Ἀντέγκλημα. Μετάστασιν. Συγγνώμην. Τῶν δὲ νομικῶν, ὅσαι περὶ τὸ αὐτὸ ῥητὸν εἰσί, τοῦ μὲν τῷ ῥητῷ κεχρημένου, τοῦδε τῇ διανοίᾳ, ῥητὸν καὶ διάνοια ἤκουσαν. ἐν οἷς δὲ ἀπὸ τοῦ ἐγγράφου καὶ ἄγραφόν τι συνάγεται, συλλογισμός. ἐπειδὰν δὲ ἡ ζήτησις περὶ δύο, ἢ καὶ πλείω ῥητὰ εἴη ὑπεναντία, ἀντινομία. ἀμφιβολία τε παρὰ ταύτας, καὶ τελευταῖα ἡ μετάληψις, ἣ καὶ παραγραφὴ λέγεται. καὶ ταῦτα μὲν Ἑρμογένης. Ὁ δὲ Ἀριστοτέλης ἐν τῷ δευτέρῳ τῶν ὑστέρων ἀναλυτικῶν, εἰς τέσσαρα διεῖλε τὴν τῶν ζητουμένων συμπλήρωσιν. ὅτι ἐστί. διατί ἐστί. καὶ εἰ ἐστί. τί ἐστιν. ἐφ' ἑκάστου γὰρ τῶν ἀμφισβητουμένων πράγματός τινος ἐπιζητεῖται γνῶσις. αὕτη δὲ τετραχῆ τὴν διανομὴν εἴληχεν. Εἰ γὰρ περὶ τῆς ὑπάρξεως ἁπλῶς ἀμφισβητοῦμεν τοῦ πράγματος, ὃ καὶ συνίστησι τὴν, εἰ ἐστι ζήτησιν. ἢ τούτου ὁμολογουμένου περὶ τοῦ ὅρου διαφερόμεθα, κἀντεῦθεν ἀνακύπτει ἡ τοῦ, τί ἐστι ζήτησις. ἢ πάλιν καὶ τούτου κειμένου, τίνα εἰσὶν ἅπερ ἐκείνῳ συμβέβηκε σκεπτόμεθα, ταὐτὸν δὲ ἐστὶν, ὁποῖόν τι ἐστὶ τὸ κείμενον; ἐξ οὗ ἡ τοῦ ὅτι προέρχεται ζήτησις,

τησις, περὶ τὴν τοῦ ὑποκειμένου στρεφομένη ποιότητα. ἂν δὲ καὶ τοῦτο προσαποδοθείη, λοιπὸν εἴη διαμφισβητῆσαι περὶ τῆς αἰτίας, δι' ἣν τοιόνδε ἐστὶ τὸ ὑποκείμενον. τοῦτο δέ ἐστι, τὸ διατὶ ζητεῖν. Εἰ γοῦν ἰσάριθμα δεῖ εἶναι τοῖς γινωσκομένοις τὰ ζητούμενα, τέτταρα δὲ ταῦτα, ἀνάγκη πᾶσα κἀκεῖνα εἶναι τοσαῦτα. τί οὖν πρὸς ταῦτα ῥητέον; ἢ ὅτι καίπερ Ἑρμογένης τὴν τετραμερῆ παρῆκε τοῦ Ἀριστοτέλους διαίρεσιν, ἅτε δὴ μὴ τὴν κατὰ Φιλόσοφον ἀκριβῆ πραγματευόμενος ἔρευναν, οὐ μὴν καὶ τὸ τέταρτον ἐκείνης μέρος, τὴν διατὶ δηλαδὴ ζήτησιν παρέλειπεν. αὕτη γὰρ τὴν τινὸς αἰτίαν πολυπραγμονεῖ λαχοῦσα. εἰ μὲν ἐπ' ἀσυμπλόκου τινὸς καὶ ἀσυνθέτου θεωρεῖται. οἷον, δι' ἣν αἰτίαν Φίλιππος ζητεῖ τὴν εἴσω πυλῶν παρέλευσιν. ἢ ἐπὶ συμπεπλεγμένου τε καὶ συνθέτου, ὃ καὶ σπάνιον παρὰ Ῥήτορσιν. οἷον, δι' ἣν αἰτίαν ἐκλείπει ὁ ἥλιος. παράτι οὐκ ἀγαθὸν ὁ πρὸς ὁμόρους πόλεμος. Ἡ δὲ πίστις πολυσήμαντός ἐστι φωνή. πῆ μὲν ἐπὶ τοῦ πιστεύοντος λέγεται καὶ ἔστιν ὑπόληψις περί τινος τῶν δοκούντων, ἢ κοινῇ ἢ γοῦν τῷ πεφυκότι. πῆ δὲ τοῦ πιστωτικοῦ λόγου τὴν ὕλην, καὶ ἔστι στοιχεῖον, ἢ τόπος ἐπιχειρήματος ἔνδοξος, δι' οὗ δύναιτ' ἄν τις πειθὼ ἀπεργάσασθαι. ἔστι δ' ὅτε καὶ ἀντὶ θάῤῥους ἐκλαμβάνεται. ὡς τὸ πίστιν ἔχειν, καὶ διδόναι πίστιν, καὶ δέχεσθαι. Κατὰ γοῦν τὸ δεύτερον σημαινόμενον ὁ Ἀριστοτέλης ἐπὶ τοῦ παρόντος γενικῶς τὴν πίστιν διέτεμε. τὰς μὲν

πρε-

προϋποκειμένας καὶ μὴ διὰ τῆς μεθόδου πορίζομένας τῷ Ῥήτορι, ἀτέχνους ἐκάλεσεν. οἷαι εἰσὶ, νόμοι, συνθῆκαι, μαρτυρίαι, βάσανοι, ὅρκοι. Καὶ Νόμος μὲν ἐστὶ κατ' αὐτὸν τοῦτον, ὁμολόγημα πόλεως κοινὸν, διὰ γραμμάτων προστάττον πῶς χρὴ πράττειν ἕκαστα. Ὥσπερ ἡ Συνθήκη παραφυὰς οἷα τις παρατέθηλε, νόμος οὖσα τῶν κατὰ μέρος τισὶν ἴδιος. Μαρτυρία δὲ, ὁμολογία ἐστὶ συνειδότος ἀκούσιος. Καὶ παρὰ ταῦτα Ὅρκος, ἡ μετὰ θείας παραλήψεως φάσις ἀναπόδεικτος. Ἐντέχνους δ' αὖ, ὅσαι καὶ εὑρέσεως καὶ οἰκονομίας δέονται τῆς τοῦ Ῥήτορος μετὰ τέχνης. ἃς καὶ τρισὶ τούτοις διδάσκει συνίστασθαι. τῇ τε τοῦ λέγοντος ἐπιεικείᾳ: καὶ τῇ περὶ οὗ λέγει ἀποδείξει. καὶ ὑπὲρ ταῦτα, τῇ παρὰ τοῦ πρὸς ὃν ὁ λόγος διαθέσει. ἐπεὶ δὲ αὗται ὕλης ἐπέχουσι λόγον, ἧπου καὶ εἴδους δεήσονται. ἣν γὰρ ἐντεῦθεν ἔχει λαβὼν ὕλην ὁ Ῥήτωρ, οὐ φυρδὴν καὶ ἀκατάσκευον κέχρηται, ἀλλὰ πολὺ πρότερον ῥυθμίσας καὶ οἱονεὶ μορφώσας τοῖς ἐπιχειρήμασι κατὰ τὸ δοκοῦν, ἐπάγει τοῖς πράγμασιν ἐγκατάσκευον. Εἰσὶ δὲ τῶν ἐπιχειρημάτων ἧπερ Ἀριστοτέλει ἐνταῦθα δοκεῖ, τὸν ἀριθμὸν τέτταρα. Συλλογισμός. Ἐπαγωγή. Ἐνθύμημα. Παράδειγμα. ὧν τοῖς μὲν δυσὶ πρώτοις, Διαλεκτικοὶ ὡς οἰκείοις χαίρουσι: κέχρηνται δὲ καὶ Ῥήτορες, ἀλλ' ὑπτιώτερόν πως καὶ πλατύτερον ἐκφέροντες. ὁ γὰρ Ῥήτωρ εὐρούστερος μὲν διαλεκτικοῦ, τούτου δ' ἐκεῖνος ἐστὶν ἀκριβέστερος. ἔνθεν τοι καὶ Ζήνων, τὸν μὲν ἐκτεταμένῃ ἔκαζε παλάμῃ, συνεσταλμένῃ δὲ τὸν διαλεκτικόν. Τὰ

Νόμος. Συνθήκη. Μαρτυρία. Ὅρκος.



Ε. Γ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λοιπὰ δὲ δύο, Ῥήτορσιν ἰδιαίτατα. ἀνάλογον μὲν συλλογισμῷ τὸ ἐνθύμημα, ἐπαγωγῇ δὲ τὸ παράδειγμα.

Συλλογισμός.

Ἔστι δὲ Συλλογισμὸς (ὡς ἐν πολλοῖς ὥρισται τῷ Φιλοσόφῳ) λόγος ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. ἐνταῦθα γένος ὢν ὁ λόγος, τῶν ἑτερογενῶν διακρίνει τὸν συλλογισμόν· τὰ δὲ λοιπὰ διαφορᾶς ἀναπληροῦντα λόγον, πρὸς διάκρισιν τῶν ἑτεροειδῶν εἴληπται. σύγκειται δὲ πᾶς συλλογισμὸς δυοῖν προτάσεων, καὶ τῷ ἐκ τούτων συναγομένῳ συμπεράσματι. τεθέντων δὲ εἴρηται, ἐπειδὴ τὰς προτάσεις ὁμολογουμένας εἶναι χρεών. ἕτερον δέ τι τῶν κειμένων, διὰ τὸ συμπέρασμα, ὃ τῶν προτάσεων ἢ τοιοῦτον, ἐστὶν ἕτερον. Ἀποκείσθω δὲ παράδειγμα τοῦ κατὰ Ῥήτορας συλλογισμοῦ τόδε. Καὶ αὐτοῖς δὴ τοῖς φιλαπεχθῶς διακειμένοις ἐν ἐπαίνου λόγῳ ἦν. θαυμάζειν γὰρ ἀνδρὸς ἀρετὴν οἶδε καὶ πολέμιος. οὕτως ὑπῆρχεν αἰδέσιμος τὴν ἀρετὴν ὁ ἀνήρ.

Ἐνθύμημα

Ἐνθύμημα δὲ ἐστὶν, ἀτελὴς συλλογισμὸς, ἐξ εἰκότων ἢ σημείων. ὅταν γὰρ τῆς ἑτέρας τῶν εἰρημένων προτάσεων ὁ συλλογισμὸς ἀπολείπηται, ἐνθύμημα εἴωθε λέγεσθαι. τοῦτο γὰρ καὶ αὐτὸ παρίστησι τοὔνομα, ἀπὸ τοῦ ἐν θυμῷ· ἤτοι ἐν μνήμῃ τοῦ ἀκροατοῦ τὴν ἑτέραν καταλιμπάνειν τῶν προτάσεων τὸ λεγόμενον. Γίνεται δὲ ἐξ εἰκότων καὶ σημείων. Καὶ εἰκὸς μὲν ἐστι, πρότασις ἔνδοξος τῶν ὡς ἐπὶ πολὺ γινομένων ἢ μή. οἷον, εἴτις εἴποι, ὕσει, ἡ γὰρ ὥρα χειμέριος. Τὸ δὲ σημεῖον τριχῶς θεωρηθῆναι ἐνδέχεται· τὸ μὲν γὰρ ἐπὶ

πλέον

πλέον ἐστὶ, οὗ λέγεται. οἷον, ἡ γυνὴ ὅτι ἔγγυος σημεῖον, ὠχριᾷ γάρ. Τὸ δὲ ἐπ' ἔλαττον, ὡς εἴ τις εἴποι, Σταγειρῖται σοφοὶ, τοιοῦτος γὰρ ὁ Ἀριστοτέλης Σταγειρίτης ὤν. Καὶ παρὰ ταῦτα, τὸ ἀναστρέφον, ὅπερ καὶ τεκμήριον λέγεται, καὶ μόνον τῶν σημείων ἐπειδὰν ἀληθὲς ᾖ, οὐδαμῶς ἐστι λύσιμον. ὡς ὁ καπνὸς τοῦ πυρὸς σημεῖον. καὶ τοῦ ζῆν τὸ ἀναπνεῖν. Ἐνθυμήματος ἔσω παράδειγμα τόδε. Καὶ αὐτοῖς δὲ τοῖς φιλαπεχθῶς διακειμένοις ἐν ἐπαίνου λόγῳ ἦν. οὕτως ὑπῆρχεν αἰδέσιμος τὴν ἀρετὴν ὁ ἀνήρ.

Ἐπαγωγὴ λόγος ἐστὶν ἀπὸ τῶν καθέκαστα καὶ γνωρίμων, τι τῶν καθόλου ἄγνωστον συνάγων. ὅθεν καὶ ἐπαγωγὴ εἴρηται ἐπὶ πολλοῖς τοῖς κατὰ μέρος ἀπαριθμουμένοις καὶ ὁμολογουμένοις ὁλικόν τι ἐπάγουσα. τοιοῦτόν ἐστι τὸ Δημοσθένους ἐν τῷ δευτέρῳ κατὰ Φιλίππου. ἔνθα βουλόμενος τὸ ἄπιστον παραστῆσαι τῆς ἐκείνου γνώμης, ὃς καὶ Ἀθηναίους φησὶν ἐξηπατηκέναι τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ Ὀλυνθίους, καὶ τὰ τελευταῖα Θετταλῶν μέχρις. ὅλως δὲ οὐδεὶς ἐστὶν ὅντινα οὐ πεφενάκηκεν ἐκεῖνος. καὶ ἐν τῷ πρώτῳ ὑπὲρ Ὀλυνθίων, τὸ τοῦ Φιλίππου δυνατὸν ἵνα διαλύσῃ προθέμενος, ἐπαγωγῇ κέχρηται τοιᾶδε. Τὰ Θετταλῶν ἄπιστα ἐστὶν αὐτῷ, καὶ Μαγνησίαν κεκωλύκασι τειχίζειν καὶ τὰ ἑξῆς. *Ἐπαγωγή.*

Τὸ δὲ παράδειγμα ὅσον ἐστὶν ἀναλέξασθαι, ἐξ ὧν ἄλλοθι καὶ ἐπὶ τοῦ παρόντος εἴρηται τῷ φιλοσόφῳ, λόγος ἐστὶ τινὸς τῶν κατὰ μέρος ἀγνοουμένου διὰ μέρους γνωρίμου τε καὶ πιστοῦ δεικτικός. δεῖ γὰρ τὸ παράδειγμα καὶ μερικὸν εἶναι, καὶ τοιούτου τινὸς ἕνεκεν ἐκ- *Παράδειγμα.*

τοῦ

τε τῶν προϋπαρξάντων, ἢ ὡς προϋπαρξάντων εἰλῆφθαι, οὐδ' ἐξ ἀδόξων, ἢ προσώπων, ὅταν ἐς μίμησιν ἐπιφέρηται, ἢ τῶν πραγμάτων, ἀλλ' ὁμοίως παρὰ πᾶσι νομιζομένων. Τῶν δὲ παραδειγμάτων δύο φησὶν εἴδη ὁ Ἀριστοτέλης. ὧν θάτερον μὲν ἐστὶ, τὸ τὰ προγεγενημένα λέγειν, θάτερον δὲ τὸ αὐτὸ αὐτὸν ποιεῖν. καὶ τοῦ μὲν πρώτου εἴδους παραδείγματα ἔστω τὸ τοῦ Δημοσθένους. οἷον, Εἰ μὲν Ἀθηναῖοι Στρατοκλεῖ καὶ Ἱέρακι δεομένοις συγκατέθεντο, εἶχον ἂν τότε τὴν Ἀμφίπολιν, καὶ πάντων τῶν μετὰ ταῦτα ἂν εἶεν ἀπηλλαγμένοι πραγμάτων. ταύτῃ δὲ εἰ Ὀλυνθίους πρεσβευομένους προήσωνται, μείζονα καταστήσουσι τὸν Φίλιππον, ἐξὸν καθελεῖν καὶ ῥᾴονι τοῦ λοιποῦ χρῆσθαι. ὡσαύτως καὶ τοῦ μηδενὶ ἐπιτρέπειν συγχωρεῖν τοῖς μέγα δυναμένοις τῶν πολιτῶν τὴν παρὰ τοῦ πλήθους ἰσχὺν, παράδειγμα καθέστηκεν ἡ τοῦ Πεισιστράτου ἐπίθεσις, καὶ ὅλως τὰ τοῖς ἄλλοις κατορθώματα, ἢ συμφοραὶ, ἑτέροις διδάγματα γίνεται. Τὸ δ' αὐτὸν ποιεῖν, (ὃ δεύτερον εἶδος εἰρήκαμεν τοῦ παραδείγματος) διεῖλεν ὁ Ἀριστοτέλης διχῆ. εἴς τε τὴν παραβολὴν, καὶ τὸν λόγον ἤτοι μῦθον. Ἔστι δὲ παραβολὴ, παράδειγμα ἀπὸ τῶν φύσει καὶ ὁσημέραι γιγνομένων λαμβανόμενον. οἷον, οὐ δεῖ τοὺς ἐπιτιμῶντας τῶν φίλων ἀποστρέφεσθαι, τοὺς δὲ κολακεύοντας προσίεσθαι. καὶ γὰρ παράφορος ἂν εἴη, ὃς τοὺς μὲν ἐπιστήμονας τῶν ἰατρῶν ἀπαρέσκοιτο, ὅτι τοῖς αὐστηροῖς τῶν φαρμάκων τὴν θεραπείαν χαρίζονται, τοὺς δὲ ἠπίοις καὶ προσηνέσιν ἀπολαῦντας ἀσπάζοιτο. κἀκεῖνο οὐκοῦν θέμις

πλη-

πλουτίνδην ἐκλέγεσθαι τοὺς ἀρχιερατεύσοντας,
ἀλλὰ μὴ ἀριστίνδην. ὅμοιον γὰρ ὥσπερ εἴ τις
τῷ μὲν ἀκριβῶς εἰδότι τὰ τῆς ποιμαντικῆς τὴν
τοῦ ποιμαίνειν οὐκ ἐπιτρέπει φροντίδα· τῷ δὲ
ἀβροτάτῳ, εἰ τύχῃ δὲ καὶ βορωτάτῳ, φέρων ἐγ-
χειρίζει τὸ ποίμνιον, οὔτε χωρίων ἐπισταμένῳ
τὰ ἔνυδρα καὶ ἐπίμονα, οὔτε λύκοις προσπολε-
μῆσαι, οὔτε τὸ ἀρρωστοῦν ἐπισκέψασθαι, ὃ δὴ
ποιμένος ἐστὶν ἀρετή, ἀπό τε νομῶν καὶ ἐπὶ νο-
μὰς εἰσελάσαι τε καὶ ἐξελάσαι, οὔτε εἰδότι, οὔτ'
ἐθέλοντι. (Ἕτερον) Ῥᾷστον ἡ μοχθηρία, καὶ πρό-
χειρος εἰς κακοῦ μετουσίαν ὁ δρόμος. θᾶτ-
τον γὰρ ἄν τις ὀλίγης κακίας μεταλάβοι
πλουσίως, ἢ ἀρετῆς βαθείας κατὰ μικρόν. ἐπεὶ
καὶ μέλιτι μὲν μικρὸν ἀψίνθιον τάχιστα μετα-
δίδωσι τοῦ πικροῦ· μέλι δέ, οὐδὲ τὸ διπλάσιον,
ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος· καὶ μικρὰ
μὲν ὑποσπασθεῖσα ψηφίς, ποταμὸν ὅλον ἑλκύ-
σειεν ἂν ἐπὶ τὸ πρανές, ἐπισχεῖν δὲ ἢ ἀνακό-
ψαι, μόλις ἂν δυνηθείη καὶ τὸ καρτερώτατον
ἔρυμα. Μύθου δὲ παράδειγμα ἔστιν ἰδεῖν καὶ
ἐπὶ πολλῶν τ' ἄλλων. ὁ δὲ Ἀριστοτέλης ἐκφέ-
ρει τοιοῦτον ἐστίν. Αἴσωπος ἐν Σάμῳ συνηγο-
ρῶν δημαγωγῷ κρινομένῳ περὶ θανάτου, ἔφη·
ἀλώπεκα διαβαίνουσαν ποτὲ ποταμόν, ἀπωσθῆναι
εἰς φάραγγα, οὐ δυναμένην δὲ ἐκβῆναι πολὺν
χρόνον κακοπαθεῖν, καὶ κυνοραιστὰς πολλοὺς ἔχε-
σθαι αὐτῆς. Ἐχῖνον δὲ πλανώμενον ὡς εἶδεν
αὐτὴν οἰκτείραντα ἐρωτᾶν εἰ ἀφέλοι αὐτῆς τοὺς
κυνοραιστάς· τὴν δὲ οὐκ ἐᾶν. ἐρωμένου δὲ διατί;
φάναι ὅτι οὗτοι μὲν πλήρεις μου ἤδη εἰσὶ καὶ
ὀλίγον ἕλκουσιν αἷμα. ἐὰν δὲ τούτους ἀφέλῃ,

ἕτεροι ἐλθόντες πεινῶντες, ἐκπίονταί μου τὸ λοιπὸν αἷμα. ἀτὰρ οὖν καὶ ὑμᾶς ὦ ἄνδρες Σάμιοι, οὗτος μὲν οὐδὲν ἔτι βλάψει. πλούσιος γάρ ἐστιν. ἐὰν δέ τοῦτον ἀποκτείνητε, ἕτεροι ἥξουσι πένητες, οἳ ὑμῖν ἀναλώσουσι τὰ κοινὰ κλέπτοντες. Δεῖ δὲ ἐν τούτοις ὡς οἷόν τε τὸ ὅμοιον ὁρᾶν. παραδείγματος γὰρ ἀρετή, τὸ παραπλήσιον εἶναι, οὗ παράδειγμα ἕπεται· ὡς ἂν διὰ τῆς ἐνούσης ὁμοιότητος ἐκείνου, δηλωτικόν τε καὶ πιστικὸν γίγνηται. Εἴδη δὲ εἴτ' οὖν γένη τῶν λόγων· ἀμφοτέρως γὰρ φίλον τῷ Ἀριστοτέλει προσαγορεύειν, παρὰ πάντων τρία ὡμολόγηται ταῦτα. ἐν οἷς πᾶσα ἡ τῶν Ῥητόρων ὑποπερατοῦται ἐλευθερία τε καὶ σπουδὴ ἐκπεραίνεται, καὶ ὧν ἐστιν ἀνεκφοίτητος. Τὸ δημηγορικὸν δῆθεν, οὗ πολὺν λόγον ἐν ταῖς βουλαῖς ποιοῦσιν οἱ Ῥήτορες. Τὸ δικανικὸν, ὥπερ ἐν δικαστηρίοις οἱ ἀμφισβητοῦντες πρὸς ἀλλήλους διαγωνίζονται, καὶ παρὰ ταῦτα Τὸ πανηγυρικὸν, ὃ τοῖς πανηγυρίζουσιν ἀποκεκλήρωται. οὐχ οὕτω μέντοι παντάπασιν ἀλλήλων εἰσὶν ἀνεπίδεκτα, ὡς ἀσεβὲς εἶναι νομίσαι κατηγορίας τοὺς συμβουλεύοντας ἅπτεσθαι, ἢ προτροπῆς τοὺς δικάζοντας. ἔστι γὰρ ὅτε καὶ ἐπιμίγνυνται ἀντὶ ὕλης ἀλλήλοις καθιστάμενα. τὸ δὲ μήτε ὑπὲρ ταῦτα, μήτε ἐντὸς τούτων τὸν πολιτικὸν λόγον ἐγκλείεσθαι, ὁ μὲν Ἀριστοτέλης ἐς τοὺς ἀκροατὰς ἀναφέρει, ὅτι τρεῖς οὗτοι. καὶ τὴν αἰτίαν ἐπάγει. ὁ γὰρ ἐπαΐων ἢ θεωρός ἐστι καὶ τοῖς πανηγυρίζουσιν ἴδιος, ἢ κριτής. καὶ εἰ μὲν περὶ μελλόντων, τοῖς δημηγοροῦσιν ἀκούειν ἐπιποθεῖ. εἰ δὲ περὶ γεγονότων, τοῖς ἀμ-

φισβη-

φισβητοῦσιν ἀφέστηκεν. Ἕτεροι δέ τινες τὸ τρι-
μερὲς τῆς ἡμετέρας ψυχῆς αἴτιον ἡγοῦνται τῆς
τριάδος τῶν τοῦ πολιτικοῦ λόγου γενῶν, ὅπερ
οὐδὲ ὁ Ἀριστοτέλης ἀποποιεῖται. φασὶ γοῦν τὸ
μὲν συμβουλευτικὸν ἀπὸ τοῦ ἐπιθυμητικοῦ, τὴν
γένεσιν ἔχειν. ἐξ ἐπιθυμίας γὰρ οἱ ἄνθρωποι
ἢ τοῦ κτήσασθαί τι τῶν ὄντων ἢ δοκούντων ἀγα-
θῶν, ἢ ἀπαλλαγῆναι τῶν ἀνιαρῶν, ἐς τὸ συμ-
βουλεύειν προάγονται. οὗ χάριν καὶ εἰς δύο
ταῦτα διῄρηται ἀντικείμενα εἴδη, τὸ προτρε-
πτικὸν ἐρρήθεν, καὶ ἀποτρεπτικόν. Τὸ δὲ δικα-
νικὸν ὡς ἐκ πηγῆς πρόεισι τοῦ θυμικοῦ. κατη-
γορία γὰρ καὶ ἀπολογία τὰ ἐκείνου εἴδη τοῦ θυ-
μοειδοῦς τε εἰσὶν ἔκγονα, καὶ οὐδ᾽ ἄνευ θυμοῦ
ἐπιτηδεύεται. Τὸ δὲ πανηγυρικὸν ἰδίως τῷ
λογικῷ μέρει ἀποκεκλήρωται, ἐπεὶ καὶ πρὸς ἔν-
δειξιν καὶ φιλοτιμίαν τὴν ἐν λόγοις ἀφορᾷ, καὶ
γαληνιώσης δέεται τῆς ψυχῆς καὶ τῆς τῶν πα-
θῶν στάσεως ἐκτός, καθὸ καὶ λόγος ἐπικρα-
τεῖ τῶν ἀλόγων δυνάμεων, κἀκεῖναι μετεχόν-
τως λογικαὶ γίνονται τῇ πρὸς τὰ κρεῖττον
ὑποταγῇ καὶ ἀναφορᾷ τελειούμεναι. Σκοπὸς
δὲ τοῦ μὲν συμβουλευτικοῦ, τὸ σύμφορον καὶ ἀ-
σύμφορον. τοῦ δὲ δικανικοῦ, τὸ δίκαιον καὶ ἄδι-
κον. τὸ δὲ καλὸν καὶ αἰσχρὸν τοῦ πανηγυρικοῦ.
καὶ τῷ καλῷ δὲ καὶ αἰσχρῷ πολλάκις ὁ συμβου-
λεύων κέχρηται, ἀναφέρων πρὸς τὸ τέλος τὸ
ἴδιον. ὡσαύτως καὶ ὁ ἀμφισβητῶν τοῖς τοῦ συμ-
βουλεύοντος καὶ ἐναλλάξ. Ἀλλὰ ταῦτα μὲν ὡς
ἐγχωρεῖ ἦν τῷ τε συντόμῳ τῆς πραγματείας,
καὶ τῷ ἡμῖν ἀνενοχλήτῳ, ἅλις ἔσω ἀνατεθεω-
ρημένα. ἄλλως τε οὐδὲ πάνυ τι προόδου οὔσης
ἐς

ἐς τὴν κατὰ Ῥήτορας εὐστομίαν τῆς ἀκριβοῦς περὶ ταῦτα ἐξονυχίσεως, ἐπεὶ πράξει μᾶλλον ἢ θεωρίᾳ τὰ τῆς Ῥητορικῆς (ἅτε δὴ καὶ τῶν ἄλλων τεχνῶν) πορίζεσθαι πέφυκεν. Ὥρα λοιπὸν καὶ ἐς αὐτὴν μεταβῆναι τῶν τοῦ πολιτικοῦ λόγου μερῶν ἔρευναν, ἣν ὡς συμφορωτάτην ἔγνωμεν τοῖς μαθητιῶσιν, οἷα δὴ ἣν ἐκ πρώτης ἀφετηρίας ὅσον οὐδένος ἐξακριβῶσαι προεσημηνάμεθα. Μέρη τοιγαροῦν τοῦ πολιτικοῦ λόγου, ὁ μὲν Ἀριστοτέλης δύο ταῦτα ἀναγκαῖα ἡγεῖται· τὴν πρόθεσιν ἣν καὶ πρόβλημα λέγει, καὶ τὴν πίστιν ἣν καλεῖ καὶ ἀπόδειξιν· ἀναγκαῖον γὰρ τὸν ἀποδεικνύντα πάντως προειρηκέναι τὸ περὶ οὗ ἐπάγει τὰς ἀποδείξεις· τὸ γὰρ εἰπόντα μὴ ἀποδεῖξαι, μὴ ὅτι ἀπίθανον καὶ μάλα εὐήθους διανοίας ἐς κρίσιν δεόμενον, ἀλλὰ δὴ καὶ γελοῖον. τὸ δὲ ἀποδεῖξαι μὴ προειπόντα, καὶ ὅλως ἀδύνατον. Διὰ μέντοι τοῦ ἀκροατοῦ τὴν φαυλότητα, ἐγκριτέον οἴεται μετὰ τοῦ ἐπιλόγου καὶ τὸ προοίμιον. Τὴν δὲ προκατάληψιν ἣν μετὰ τὸ προοίμιον τιθέασι τῶν πάλαι ῥητορευσάντων ἔνιοι, καὶ τῶν νῦν οἱ πλεῖστοι, τήν τε προκατασκευὴν, ἣν μετὰ τὴν πρόθεσιν ἤτοι διήγησιν (ἀμφότερα γὰρ νοεῖν ἔστι τῷ τῆς προθέσεως ὀνόματι) συνάπτουσιν. ἀνασκευήν τε προσέτι, τὴν μετὰ τὴν πίστιν ἤτοι κατασκευήν. καὶ ἄλλα ὅσα ἐπινενοήκασι τινὲς κατὰ τὸ δοκοῦν τὰ ὁλοσχερῆ τοῦ λόγου κατακερματίζοντες μόρια, ληρώδη τε ἀποκαλεῖ, καὶ ἀνοίκειον βάρος τοῖς λόγοις περιαπτόμενα. ἣν γὰρ τῆς προθέσεως εἴτ' οὖν διηγήσεως ἀξιοῦσι προτάττεσθαι προκατάληψιν, τῇ πίστει ἐμπεριέχεται τὸ προ-

κατα-

καταλαβόντα πόῤῥωθεν τὸν ῥήτορα προαναλέγεσθαι τὰ ἀντιπίπτοντα, καὶ ἐπὶ προδιωκημένῃ τῇ λύσει ἐπαγαγεῖν τὰ ἴδια, ὅπερ ἐστὶ προκαταλήψεως ἔργον. τῶν ἀγώνων πάντως ἐστὶν εἰς δύο· ἀνασκευή τε μετὰ κατασκευῆς καὶ λύσεις καὶ ἀντιθέσεις ἀνάγονται, ἅπερ ἐστὶ τῷ τῆς πίστεως ὀνόματι τῷ Ἀριστοτέλει συμπεριείληπται. οὐ γὰρ μόνον ἐμπεδοῦντες διὰ κατασκευῆς πιστοῦμεν τὰ ἡμέτερα, ἀλλὰ πολλῷ μᾶλλον καὶ τὰ τῶν ἐναντίων ἀνασκευάζοντες, καὶ ἀσθενῆ ἀποφαίνοντες. Οὔτε μὴν οἱ τὴν προκατασκευὴν τιθέμενοι πλέον τι λέγουσι τῶν μηδὲ τιθεμένων. ἡ γὰρ κατασκευὴ ἔκθεσίς ἐστι τῶν τῆς ὅλης ὑποθέσεως κεφαλαίων εἴτουν ζητημάτων, ὡς ἐστιν ἰδεῖν παρὰ Ἑρμογένει. ἥτις νυνὶ μὲν πρὸ τῆς προθέσεως τάττεται, καὶ μέρος τοῦ ὅλου γίνεται προοιμίου· εὐμαθείας γὰρ ἕνεκεν ἐπινενόηται· τοῦτο δὲ προοιμίου ἐστὶ φιλοτέχνημα. νυνὶ δὲ μετὰ τὴν πρόθεσιν, ὅτε καὶ προθέσεως χώραν ἀναπληροῖ. ἧς ἐστι προεκθέσθαι τὰ περὶ ὧν ὁ μετέπειτα λόγος, καὶ τοῖς ῥηθησομένοις ἐμποιῆσαι σαφήνειαν. Διὸ δεῖ τὰ μὲν τῶν ἄλλων ὡς περιττὰ καὶ ἀλυσιτελῆ παρωσάμενοι, μόνῃ τῇ τοῦ Ἀριστοτέλους τετραμερεῖ ἐφησυχάσομεν διαιρέσει. Μετὰ γοῦν τὸ προοίμιον, τὴν πρόθεσιν ἤτοι πρόβλημα τάξομεν, ᾗ συνεπινοεῖται καὶ ἡ διήγησις. ἡ γὰρ πρόθεσις ἡ ἔκθεσις τῶν τῆς ὅλης ὑποθέσεως κεφαλαίων τε καὶ πραγμάτων, ἡ τῶν ἤδη συμβάντων καὶ εἰργασμένων διήγησις. Μετὰ τὴν πρόθεσιν εὐθὺς τὴν πίστιν συνάψομεν, ἥτις ἀνασκευήν τε ἐμπεριέχει καὶ κατασκευήν, καὶ

ἁπλῶς ὅσα εἰς τοὺς ἀγῶνας ἀνήκει. Τελευταίῳ δὲ τῷ ἐπιλόγῳ χρησόμεθα, ἀναμιμνήσκοντες τοὺς ἐπαΐοντας τῶν προειρημένων, καὶ εἰς σύστασιν ἠθῶν παροξύνοντες. περὶ ὧν ἁπάντων ἐν τοῖς ἑξῆς διαληψόμεθα, θεοῦ τοῦ τῶν λόγων προϊσταμένου, ποδηγετοῦντος τε καὶ συναιροῦντος.

## ΠΕΡΙ ΠΡΟΟΙΜΙΟΥ.

Εἴπερ ἐν ἄλλοις καὶ ἐπὶ τῆς τοῦ προοιμίου φωνῆς τὸ τοῦ Κρατύλου παρὰ Πλάτωνι οἰκείως εἰρῆσθαι δοκεῖ. ἐνεῖναι δήπουθεν τοῖς ὀνόμασι ὀρθότητά τινα πρὸς ἀνάπτυξιν τῶν ἑκάστῳ σημαινομένων, καὶ οὐ συνθήκη μόνη καὶ ὁμολογία τοὺς πρώτως ὀνοματοθέντας ἐξενεγκεῖν τὰ ὀνόματα. ἐνδίδωσι γὰρ ἡμῖν ἐννοεῖν τὸ πρόσρημα τὸ πρὸ παντὸς τιθέμενον λόγου, προπαρασκευαστικὸν πρόασμα. ἐκ τοῦ πρὸ μορίου, καὶ τῆς οἴμης φωνῆς, οὐ τὴν ὁδὸν μόνον, ἀλλὰ καὶ τὴν ᾠδὴν παρεμφαινούσης συμπλεκόμενον. ἐφ' ᾧ δὲ καὶ Ἀριστοτέλης τῷ τε ἐν ποιήσει προλόγῳ, καὶ παρ' αὐληταῖς προαυλίῳ, συνέκρινε τὸ προοίμιον. διὰ γὰρ ἐκείνων, οἱ μὲν Ποιηταὶ τῷ προλόγῳ, Αὐληταὶ δὲ τῷ προαυλίῳ τὰς τῶν προσεχόντων ἀκοὰς οἱονεὶ προτιλοῦσι τε, καὶ εἰς τοὐπιὸν τῆς ᾠδῆς ἀνεγείρουσιν, οὕτω τοι καὶ οἱ ἀμφὶ τοὺς Ῥήτορας, οἷον τισὶ θελκτηρίοις παρορμήμασι τῷ προοιμίῳ ἐξευμαρίζουσι τὴν τῶν ἀκροωμένων ψυχήν, καὶ εὐπαράσκευον εἰς τὴν αὐτῆς ὑπόθεσιν ἀπεργάζονται. ταυτὸ δὲ τοῦτο καὶ ὁ τῆς οὐσίας αὐτοῦ δηλωτικὸς παρίστα λόγος, ὡς ἐν τῇ πρὸς Ἀλέξανδρον Ῥητορικῇ τῷ Φιλοσόφῳ ὥρισται. Προοίμιον

ΙΩΑΝΝΙΝΑ 2006

μιον φησὶ καθόλου μὲν εἰπεῖν, ἀκροατῶν ἐστὶ
παρασκευὴ, καὶ τοῦ πράγματος ἐν κεφαλαίῳ
μὴ εἰδόσι δήλωσις. Τοὺς μέντοι ἀκροατὰς
τὴν τοιαύτην εἰώθαμεν ἀποχρώντως παρασκευά-
σθαι, ἐπειδὰν εὔνους τε ἡμῖν, καὶ τοῖς ῥηθη-
σομένοις προσέχοντας, καὶ εὐμαθεῖς κατορθώ-
σωμεν. Τοιγάρτοι ἐντεῦθεν συναγαγεῖν ἐστὶ
τὰ τοῦ προοιμίου ἔργα, εὔνοιαν, προσοχὴν, εὐ-
μάθειαν· ἅπερ ἅμα πάντα ἐμφιλοχωρεῖν ἐπὶ
παντὸς προοιμίου, οὐ πάντως ἐστὶν ἐπάναγκες·
ἀλλ' ἅττα τό, τε εἶδος τοῦ λόγου, καὶ ἡ τοῦ
ἀκροατοῦ διάθεσις ἀπαιτεῖ. ἔστι δ' οὗ καὶ ὅλου
μέρους τοῦ προοιμίου ὁ Ῥήτωρ ὀλιγωρεῖ, ὡς ἐν
τοῖς ἑξῆς εἰσόμεθα. ἐν οἷς μέντοι χρηστέα ἦν
καὶ ὅθεν ἂν νῦν εὐπορήσαιμεν, τὰ νῦν πειρα-
τέον εἰπεῖν.

## ΠΕΡΙ ΕΥΝΟΙΑΣ.

Εὔνοια μὲν οὖν θηρᾶσθαι καὶ ἄλλοις πέφυκε,
μάλιστα δὲ ἐκ τεττάρων τούτων· ἐπαίνου τῶν
ἀκουόντων· συστάσεως τοῦ οἰκείου προσώπου· ἐκ
διαβολῆς τῶν ἀντιδίκων· καὶ λύσεως τῶν ἀν-
τιπιπτόντων. ὧν τοῦ μὲν πρώτου ἔστω παράδειγ-
μα τὸ τοῦ Ἰσοκράτους ἐν πλαταϊκῷ. Εἰδότες
ὑμᾶς ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τοῖς ἀδικουμένοις
προθύμως βοηθεῖν εἰθισμένους, καὶ τοῖς εὐερ-
γέταις μεγίστην χάριν ἀποδιδόναι. καὶ τὰ ἑξῆς.
τό, τε δημοσθενικὸν ἐκεῖνο ἐν τῷ πέμπτῳ ὑπὲρ
Ὀλυνθίων, ἐν ᾧ ἐκπλαγίου ὁ Ῥήτωρ ἐπαινῶν
τοὺς Ἀθηναίους ὡς χρημάτων ὑπερόπτας, καὶ
πρὸ παντὸς τιθεμένους τὸ συμφέρον τῆς πόλε-
ως, τὴν παρ' ἐκείνων εὔνοιαν σφετερίζεται, τού-
τοις